Αὕτη ἐν Ἀλεξανδρείᾳ καὶ γεννᾶται καὶ ἀνατρέφεται καὶ παιδεύεται. Τὴν δὲ φύσιν[1] γενναιοτέρα[2] τοῦ πατρὸς οὖσα Θέωνος τοῦ γεωμέτρου, οὐκ ἀρκεῖται τοῖς διὰ τῶν μαθημάτων παιδεύμασιν ὑπὸ τῷ πατρί, ἀλλὰ καὶ φιλοσοφίας ἅπτεται τῆς ἄλλης οὐκ ἀγεννῶς. Περιβαλλομένη δὲ τρίβωνα, αὕτη ἡ γυνὴ καὶ διὰ μέσου τοῦ ἄστεος ἐρχομένη, ἐξηγεῖται δημοσίᾳ τοῖς ἀκούειν βουλομένοις ἢ τὸν Πλάτωνα ἢ τὸν Ἀριστοτέλην ἢ ἄλλον τινα τῶν φιλοσόφων. Πρὸς δὲ τῷ διδασκαλικῷ, καὶ ἐπ' ἄκρον ἀναβαίνουσα τῆς πρακτικῆς ἀρετῆς, δικαία τε καὶ σώφρων οὖσα, διετέλει παρθένος.

1 Accusatif de relation : par nature, par tempérament.
2 Comparatif de supériorité. Son complément en grec est au génitif.